ὅτι τοιοῦτος οἷος ὁ σπουδαῖος· καὶ μᾶλλον ὑπὸ τούτων ὧν φροντίζουσιν οἷς οἴονται ἀληθεύειν· τοιοῦτοι δ᾽ οἱ ἐγγὺς μᾶλλον τῶν πόρρω· καὶ οἱ συνήθεις· καὶ οἱ πολῖται τῶν ἄποθεν· καὶ οἱ ὄντες τῶν μελλόντων· καὶ οἱ φρόνιμοι ἀφρόνων· καὶ πολλοὶ ὀλίγων· μᾶλλον γὰρ εἰκὸς ἀληθεύειν τοὺς εἰρημένους τῶν ἐναντίων· ἐπεὶ ὧν τις πολὺ καταφρονεῖ ὥσπερ παιδίων ἢ θηρίων, οὐδὲν μέλει τῆς τούτων τιμῆς καὶ τῆς δόξης· αὐτῆς γε τῆς δόξης χάριν· ἀλλ᾽ εἴπερ, δι᾽ ἄλλο τι· Καὶ ὁ φίλος τῶν ἡδέων· τό τε γὰρ φιλεῖν ἡδύ· οὐδεὶς γὰρ φίλοινος μὴ χαίρων οἴνῳ· καὶ τὸ φιλεῖσθαι ἡδύ· φαντασία γὰρ καὶ ἐνταῦθα τοῦ ὑπάρχειν αὐτῷ ἀγαθὸν εἶναι, οὗ πάντες ἐπιθυμοῦσιν οἱ αἰσθανόμενοι· τὸ δὲ φιλεῖσθαι ἀγαπᾶσθαί ἐστιν αὐτὸν δι᾽ αὐτόν· καὶ τὸ θαυμάζεσθαι ἡδύ· δι᾽ αὐτὸ τὸ τιμᾶσθαι καὶ τὸ κολακεύεσθαι· καὶ ὁ κόλαξ ἡδύς· φαινόμενος γὰρ θαυμαστὴς καὶ φαινόμενος φίλος ὁ κόλαξ ἐστί· Καὶ τὸ ταὐτὰ πράττειν πολλάκις ἡδύ· τὸ γὰρ σύνηθες ἡδὺ ἦν· Καὶ τὸ μεταβάλλειν ἡδύ· εἰς φύσιν γὰρ γίνεται μεταβάλλειν· τὸ γὰρ αὐτὸ ἀεὶ ὑπερβολὴν ποιεῖ τῆς καθεστώσης ἕξεως· ὅθεν εἴρηται μεταβολὴ πάντων γλυκύ· διὰ τοῦτο καὶ τὰ διὰ χρόνου ἡδέα ἐστί· καὶ ἄνθρωποι καὶ πράγματα· μεταβολὴ γὰρ ἐκ τοῦ παρόντος ἐστίν· ἅμα δὲ καὶ σπάνιον τὸ διὰ χρόνου.

Καὶ τὸ μανθάνειν καὶ τὸ θαυμάζειν ἡδὺ ὡς ἐπὶ τὸ πολύ· ἐν μὲν γὰρ τῷ θαυμάζειν, τὸ ἐπιθυμεῖν μαθεῖν ἐστιν· ὥστε τὸ θαυμαστὸν ἐπιθυμητόν· ἐν δὲ τῷ μανθάνειν, εἰς τὸ κατὰ φύσιν καθίστασθαι· Καὶ τὸ εὖ ποιεῖν καὶ τὸ εὖ πάσχειν τῶν ἡδέων· τὸ μὲν γὰρ εὖ πάσχειν τυγχάνειν ὧν ἐπιθυμοῦσι· τὸ δὲ εὖ ποιεῖν, ἔχειν καὶ ὑπερέχειν· ὧν ἀμφοτέρων ἐφίενται· διὰ δὲ τὸ ἡδὺ εἶναι τὸ εὐποιητικόν· καὶ τὸ ἐπανορθοῦν ἡδὺ τοῖς αὐτοῖς ἐστὶ τοὺς